προτέρου Σοφοκλέους {πρεσβυτέρου}, Ἀθηναῖος, τραγικός. ἐδίδαξε δὲ δράματα μ', οἱ δέ φασιν ια', νίκας δὲ εἷλεν ζ'. ἔγραψεν καὶ ἐλεγείας.

# SUSARION

Megarensis
s. vi vel v

⊗ ἀκούετε λεῴ· Σουσαρίων λέγει τάδε
υἱὸς Φιλίνου Μεγαρόθεν Τριποδίσκιος.
κακὸν γυναῖκες· ἀλλ' ὅμως ὦ δημόται
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.
καὶ γὰρ τὸ γῆμαι καὶ τὸ μὴ γῆμαι κακόν.

1+3-4 Stob. 4. 22. 68; 1-4 Io. Diac. Logoth. in Hermog. (Rabe, *Rh. Mus.* 63, 1908, 149) τὴν κωμῳδίαν ἐφεῦρον· ἧς λόγος πρῶτον κατάρξαι τὸν Σουσαρίωνα ἔμμετρον αὐτὴν συστησάμενον. ἐνστῆναι μὲν γὰρ κατὰ τὸ σύνηθες τὰ Διονύσια, ἐν τούτῳ δὲ τῷ καιρῷ τὴν γυναῖκα τούτου μεταλλάξαι τὸν βίον· καὶ τοὺς μὲν θεατὰς ἐπιζητεῖν αὐτὸν ὡς πρὸς τὰς τοιαύτας ἐπιδείξεις εὐφυᾶ, τὸν δὲ παρελθόντα λέγειν τὴν αἰτίαν καὶ ἀπολογούμενον εἰπεῖν ταῦτα· "ἀκούετε—Τριποδίσκιος". (ἔστι δὲ ἡ Τριποδίσκη πόλις τῆς Μεγαρίδος.) "κακὸν—κακοῦ." καὶ εἰπόντος τάδε εὐδοκιμῆσαι παρὰ τοῖς ἀκούουσι. Schol. Dion. Thr. p. 19. 4 Hilgard; Tzetz. π. κωμῳδίας, *An. Par.* i. 3. 22 Cramer; id. prol. in Ar. (Kaibel, *CGF* p. 27. 93); id. schol. π. ποιητῶν, *An. Ox.* iii. 336. 28 Cramer; Diomedes, Gramm. Lat. i. 488. 23; 3-4 Schol. Ar. *Lys.* 1039.